Ακαδημία Αθηνών / Academy of Athens



*οὔτε λάθρῃ οὔτε φανερῶς ἔρδειν τι πλημμελές.* || **Πειθώ.** Πειθὼ (προσωποπ.), Persuasion (personif.), Παρμενίδης 2.4 *ἡ μὲν ὅπως ἔστιν τε καὶ ὡς οὐκ ἔστι μὴ εἶναι, Π ε ι θ ο ῦ ς ἐστι κέλευθος (Ἀληθείῃ γὰρ ὀπηδεῖ).*

**πειρᾶσθαι.** Δοκιμάζω/ἐπιχειρῶ, try/attempt, Ἡράκλειτος 1 *π ε ι ρ ώ μ ε ν ο ι καὶ ἐπέων καὶ ἔργων τοιούτων, ὁκοίων ἐγὼ διηγεῦμαι.* || Δοκιμάζομαι, be tested, Δημόκριτος 100 *ὅτεῳ μὴ διαμένουσιν ἐπὶ πολλὸν οἱ π ε ι ρ α θ έ ν τ ε ς φίλοι, δύστροπος.*

**πεῖσμα.** Μίσχος/πρόσδεμα, stalk/cable, Δημόκριτος 148 *ὁ γὰρ ὀμφαλὸς πρῶτον ἐν μήτρῃσιν ... ἀγκυρηβόλιον σάλου καὶ πλάνης ἐμφύεται, π ε ῖ σ μ α καὶ κλῆμα τῷ γεννωμένῳ καρπῷ καὶ μέλλοντι.*

**πέλαγος.** Πέλαγος/θάλασσα, open sea/sea, Ἐμπεδοκλῆς 50 *Ἶρις δ' ἐκ π ε λ ά γ ο υ ς ἄνεμον φέρει ἢ μέγαν ὄμβρον.*

**πελάζειν.** Πλησιάζω/συνάπτομαι, approach/keep close to, Παρμενίδης 8.25 *τῷ ξυνεχὲς πᾶν ἐστιν· ἐὸν γὰρ ἐόντι π ε λ ά ζ ε ι.* Πρβλ. *συνέχεσθαι.*

**πέλειν 1.** Γίνομαι/συμβαίνω, become/happen, Ξενοφάνης 2.18 *ῥώμης ὅσσ' ἀνδρῶν ἔργ' ἐν ἀγῶνι π έ λ ε ι.* || **πέλεσθαι.** Ἐμπεδοκλῆς 21.7 *ἐν δὲ Κότῳ διάμορφα καὶ ἄνδιχα πάντα π έ λ ο ν τ α ι* 68 *μηνὸς ἐν ὀγδοάτου δεκάτῃ πύον ἔ π λ ε τ ο λευκὸν* 81 *οἶνος ἀπὸ φλοιοῦ π έ λ ε τ α ι σαπὲν ἐν ξύλῳ ὕδωρ* 110.7 *οἷα κατ' ἄνδρας μυρία δειλὰ π έ λ ο ν τ α ι* **2** (συνών. *εἶναι*). Εἶμαι/ὑπάρχω, be/exist, Παρμενίδης 6.8 *οἷς τὸ π έ λ ε ι ν τε καὶ οὐκ εἶναι ταὐτὸν νενόμισται κοὐ ταὐτὸν* 8.11-18-45 *οὕτως ἢ πάμπαν π ε λ έ ν α ι χρεών ἐστιν ἢ οὐχί ... τὴν δ' ὥστε π έ λ ε ι ν καὶ ἐτήτυμον εἶναι ... τὸ γὰρ οὔτε τι μεῖζον οὔτε τι βαιότερον π ε λ έ ν α ι χρεόν ἐστι τῇ ἢ τῇ.* || **πέλεσθαι.** Ξενοφάνης 16.2 *Αἰθίοπές τε ⟨θεοὺς σφετέρους⟩ σιμοὺς μέλανάς τε Θρῇκές τε γλαυκοὺς καὶ πυρρούς ⟨φασι π έ λ ε σ θ α ι⟩* 38.2 *εἰ μὴ χλωρὸν ἔφυσε θεὸς μέλι, πολλὸν ἔφασκον γλύσσονα σῦκα π έ λ ε σ θ α ι* Ἐμπεδοκλῆς 13 *οὐδέ τι τοῦ παντὸς κενεὸν π έ λ ε ι οὐδὲ περισσὸν* 21.2 *εἴ τι καὶ ἐν προτέροισι λιπόξυλον ἔ π λ ε τ ο μορφῇ* 42.3 *ἀπεσκνίφωσε δὲ γαίης τόσσον ὅ-*

Ακαδημία Αθηνών / Academy of Athens

σον τ' εὖρος γλαυκώπιδος ἔ π λ ε τ ο μήνης 67.1 ἐν γὰρ θερμοτέρῳ τοκὰς ἄρρενος ἔ π λ ε τ ο γαστὴρ (?) 71.1 λιπόξυλος ἔ π λ ε τ ο πίστις 134.4 ἀλλὰ φρὴν ἱερὴ καὶ ἀθέσφατος ἔ π λ ε τ ο μοῦνον, φροντίσι κόσμον ἅπαντα καταΐσσουσα θοῇσιν.

**πελεμίζεσθαι.** Σείομαι/ἀπωθοῦμαι, be shaken/be driven away, Ἐμπεδοκλῆς 31 πάντα γὰρ ἑξείης π ε λ ε μ ί ζ ε τ ο γυῖα θεοῖο. Πρβλ. κινεῖσθαι.

**πένης** (ἀντίθ. πλούσιος). Πτωχός, poor, Δημόκριτος 283 οὔτε οὖν πλούσιος ⟨ὁ⟩ ἐνδέων οὔτε π έ ν η ς ὁ μὴ ἐνδέων Ἀρχύτας 3.10 διὰ τοῦτον (sc. λογισμόν) οὖν οἱ π έ ν η τ ε ς λαμβάνοντι παρὰ τῶν δυναμένων. Πρβλ. οἱ δυνάμενοι, ἐνδεῖν, οἱ δεόμενοι.

**πενητεύειν.** Στεροῦμαι, be deprived, Ἐμπεδοκλῆς 57.3 ὄμματά τ' οἶ(α) ἐπλανᾶτο π ε ν η τ ε ύ ο ν τ α μετώπων. Πρβλ. ἐνδεῖν.

**πενίη** (ἀντίθ. πλοῦτος, εὐπορίη). Φτώχεια, poverty, Δημόκριτος 101 ἐκτρέπονται πολλοὶ τοὺς φίλους, ἐπὴν ἐξ εὐπορίης εἰς π ε ν ί η ν μεταπέσωσιν 219 χρημάτων ὄρεξις, ἢν μὴ ὁρίζηται κόρῳ, π ε ν ί η ς ἐσχάτης πολλὸν χαλεπωτέρη 251 ἡ ἐν δημοκρατίῃ π ε ν ί η τῆς παρὰ τοῖς δυνάστῃσι καλεομένης εὐδαιμονίης τοσοῦτόν ἐστι αἱρετωτέρη, ὁκόσον ἐλευθερίη δουλείης 283 π ε ν ί η πλοῦτος ὀνόματα ἐνδείης καὶ κόρου 284 σμικρὰ γὰρ ὄρεξις π ε ν ί η ν ἰσοσθενέα πλούτῳ ποιέει 291 π ε ν ί η ν ἐπιεικέως φέρειν σωφρονέοντος. || Δημόκριτος 24 μητέρα ... Π ε ν ί α ν.

**περαίνειν 1.** Ἔχω ὅριο, have a limit, Μέλισσος 5 εἰ μὴ ἓν εἴη, π ε ρ α ν ε ῖ πρὸς ἄλλο **2.** Ἔχω πέρας/θέτω πέρας, have a boundary/ set a boundary, Φιλόλαος 1 ἁ φύσις δ' ἐν τῷ κόσμῳ ἁρμόχθη ἐξ ἀπείρων τε καὶ π ε ρ α ι ν ό ν τ ω ν 2 ἀνάγκα τὰ ἐόντα εἶμεν πάντα ἢ π ε ρ α ί ν ο ν τ α ἢ ἄπειρα ἢ π ε ρ α ί ν ο ν τ ά τε καὶ ἄπειρα· ἄπειρα δὲ μόνον ⟨ἢ π ε ρ α ί ν ο ν τ α μόνον⟩ οὔ κα εἴη. ἐπεὶ τοίνυν φαίνεται οὔτ' ἐκ π ε ρ α ι ν ό ν τ ω ν πάντων ἐόντα οὔτ' ἐξ ἀπείρων πάντων, δῆλον τἆρα ὅτι ἐκ π ε ρ α ι ν ό ν τ ω ν τε καὶ ἀπείρων ὅ τε κόσμος καὶ τὰ ἐν αὐτῷ συναρμόχθη.